eul_wid: sys-ai

*Συνέσιος ὁ Κυρηναῖος* · Synesius of Cyrene

# Hymns

*Ὕμνοι*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Ἀττικίζουσα* Atticizing
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πραγματεία* Treatise
**Affiliation:** Neoplatonist

1.(50) ΣΥΝΕΣΙΟΥ ΚΥΡΗΝΑΙΟΥ ΥΜΝΟΙ ΕΜΜΕΤΡΟΙ Ἄγε μοι, ψυχά, ἱεροῖς ὕμνοις ἐπιβαλλομένα, ὑληγενέας εὔνασον οἴστρους, θώρησσε δὲ νοῦ ζαμενεῖς ὁρμάς. Βασιλῆϊ θεῶν πλέκομεν στέφανον, θύμ’ ἀναίμακτον, ἐπέων λοιβάς. Σὲ μὲν ἐν πελάγει, σὲ δ’ ὑπὲρ νάσων, σὲ δ’ ἐν ἀπείροις, ἐπί τε πτολίων, κραναῶν τ’ ὀρέων, καὶ κατὰ κλεινῶν ὁπόταν πεδίων στάσω διδύμους γυίων ταρσούς, σέ, μάκαρ, μέλπω, κόσμου γενέτα. Σοὶ νύξ με φέρει τὸν ἀοιδόν, ἄναξ· σοὶ δ’ ἀμερίους, σοὶ δ’ ἀῴους, σοὶ δ’ ἑσπερίους ὕμνους ἀνάγω· ἴστορες αὐγαὶ πολιῶν ἄστρων μάνας τε δρόμοι καὶ μέγας ἴστωρ ἅλιος, ἁγνῶν ἄστρων πρύτανις, ὁσιᾶν ψυχᾶν ἅγιος ταμίας, ἐπὶ σὰς αὐλάς, ἐπὶ σοὺς κόλπους τὸν ἀποστρόφιον ταναᾶς ὕλας ταρσὸν ἐλαφριζουσᾶν, χαίρων ἵνα σου προμολὰν ἱκόμαν. Νῦν ἐπὶ σεμνᾶς τελετηφορίας σηκοὺς ἁγίους ἱκέτας ἔμολον· νῦν ἐπὶ κλεινῶν κορυφὰν ὀρέων ἱκέτας ἔμολον· νῦν ἐς ἐρήμας αὐλῶνα μέγαν Λιβύας ἔμολον, πέζαν νοτίαν, τὰν οὔτ’ ἄθεον πνεῦμα μολύνει, οὔτε χαράσσει ἴχνος ἀνθρώπων ἀστυμερίμνων, ἵνα σοι ψυχὰ καθαρὰ παθέων, λύσασα πόθους, λήξασα πόνων, λήξασα γόων, θυμῶν, ἐρίδων, ὅσα κηριτρεφῆ ἀποσεισαμένα, καθαρᾷ γλώσσᾳ γνώμᾳ θ’ ὁσίᾳ τὸν ὀφειλόμενον ὕμνον ἀποίσει. Εὐφαμείτω αἰθὴρ καὶ γᾶ· στάτω πόντος, στάτω δ’ ἀήρ· λήγετε πνοιαὶ βαλίων ἀνέμων· λήγετε ῥιπαὶ γυρῶν ῥοθίων, ποταμῶν προχοαί, κρανααὶ λιβάδες· ἐχέτω σιγὰ κόσμου λαγόνας, ἱερευομένων ἁγίων ὕμνων. δύτω κατὰ γᾶς ὀφίων συρμός· δύτω κατὰ γᾶς καὶ πτανὸς ὄφις, δαίμων ὕλας, νεφέλα ψυχᾶς, εἰδωλοχαρεῖς εὐχαῖς σκύλακας ἐπιθωΰσσων.

1.(200) Σύ, πάτερ, σύ, μάκαρ, σὺ ψυχοβόρους ἀπέρυκε κύνας ψυχᾶς ἀπ’ ἐμᾶς, εὐχᾶς ἀπ’ ἐμᾶς, ζωᾶς ἀπ’ ἐμᾶς, ἔργων ἀπ’ ἐμῶν. ἁ δ’ ἁμετέρα πραπίδων λοιβὰ σοῖς ἐριτίμοις μελέτω προπόλοις, πορθμεῦσι σοφοῖς ἁγίων ὕμνων. Ἤδη φέρομαι ἐπὶ βαλβῖδας ἱερῶν ἐπέων· ἤδη καναχεῖ ὀμφὰ περὶ νοῦν. μάκαρ, ἵλαθί μοι, πάτερ, ἵλαθί μοι, εἰ παρὰ κόσμον, εἰ παρὰ μοῖραν τῶν σῶν ἔθιγον. Τίνος ὄμμα σοφόν, τίνος ὄμμα πολύ, ταῖς σαῖς στεροπαῖς ἀνακοπτόμενον, οὐ καταμύσει; ἀτενὲς δὲ δρακεῖν ἐπὶ σοὺς πυρσοὺς θέμις οὐδὲ θεοῖς· πίπτων δὲ νόος ἀπὸ σᾶς σκοπιᾶς τὰ πέλας σαίνει, ἀκίχητα κιχεῖν ἐπιβαλλόμενος, προσιδεῖν αἴγλαν ἀκάμαντι βυθῷ ἀμαρυσσομέναν. ἀβάτω δ’ ἀποβὰς ἐπὶ πρωτοφαὲς εἶδος ἐρείδει ὄμματος ὁλκάν· ὅθεν αἰνύμενος ἐπὶ σοὺς ὕμνους ἄνθεα φωτός, ἀοριστοῖσαν ἀνέπαυσε βολάν, τὰ σὰ σοὶ πάλι δούς. Τί γὰρ οὐ σόν, ἄναξ; Πατέρων πάντων πάτερ αὐτοπάτωρ, προπάτωρ ἀπάτωρ, υἱὲ σεαυτοῦ, ἓν ἑνὸς πρότερον, ὄντων σπέρμα, πάντων κέντρον, προανούσιε νοῦ, κόσμων ῥίζα τῶν ἀρχεγόνων, ἀμφιφαὲς φῶς, ἀτρέκεια

σοφά, παγὰ σοφίας, κεκαλυμμένε νοῦ ἰδίαις αὐγαῖς, ὄμμα σεαυτοῦ, πρηστηροκράτωρ, αἰωνοτόκε, αἰωνόβιε, ἐπέκεινα θεῶν, ἐπέκεινα νόων, θάτερα νωμῶν, νοερητόκε νοῦ, ὀχετηγὲ θεῶν, πνευματοεργὲ καὶ ψυχοτρόφε, παγὰ παγῶν, ἀρχῶν ἀρχά, ῥιζῶν ῥίζα, μονὰς εἶ μονάδων, ἀριθμῶν ἀριθμός, μονὰς ἠδ’ ἀριθμός, νοῦς καὶ νοερός, καὶ τὸ νοητόν, καὶ πρὸ νοητοῦ, ἓν καὶ πάντα, ἓν διὰ πάντων, ἕν τε πρὸ πάντων, σπέρμα τὸ πάντων, ῥίζα καὶ ὄρπαξ, φύσις ἐν νοεροῖς, θῆλυ καὶ ἄρρην. Μύστας δὲ νόος τά τε καὶ τὰ λέγει, βυθὸν ἄρρητον ἀμφιχορεύων. Σὺ τὸ τίκτον ἔφυς, σὺ τὸ τικτόμενον, σὺ τὸ φωτίζον, σὺ τὸ λαμπόμενον, σὺ τὸ φαινόμενον, σὺ τὸ κρυπτόμενον, φῶς κρυπτόμενον ἰδίαις αὐγαῖς, ἓν καὶ πάντα, ἓν καθ’ ἑαυτὸ καὶ διὰ πάντων. σὺ γὰρ ἐξεχύθης, ἀρρητοτόκε, ἵνα παῖδα τέκῃς, κλεινὰν σοφίαν δημιοεργόν· προχυθεὶς δὲ μένεις ἀτόμοισι τομαῖς μαιευόμενος.

Ὑμνῶ σε, μονάς, ὑμνῶ σε, τριάς· μονὰς εἶ τριὰς ὤν, τριὰς εἶ μονὰς ὤν. νοερὰ δὲ τομὰ ἄσχιστον ἔτι τὸ μερισθὲν ἔχει· ἐπὶ παιδὶ χύθης ἰότατι σοφᾷ, αὐτὰ δ’ ἰότας βλάστησε, μέσα φύσις ἄφθεγκτος, τὸ προούσιον ὄν. οὐ θέμις εἰπεῖν δεύτερον ἐκ σοῦ· οὐ θέμις εἰπεῖν τρίτον ἐκ πρώτου. Ὠδὶς ἱερά, ἄρρητε γονά, ὅρος εἶ φυσίων, τᾶς τικτοίσας καὶ τικτομένας (σέβομαι νοερῶν κρυφίαν τάξιν· χωρεῖ τι μέσον οὐ καταταχθέν). Ἄφθεγκτε γόνε πατρὸς ἀφθέγκτου, ὠδὶς διὰ σέ, διὰ δ’ ὠδῖνος αὐτὸς ἐφάνθης ἅμα πατρὶ φανεὶς ἰότατι πατρός· ἰότας δ’ ἐσαεὶ παρὰ σεῖο πατρί.

Οὐδ’ ὁ βαθύρρους χρόνος οἶδε γονὰς τὰς ἀρρήτους· αἰὼν δ’ ὁ γέρων τὸν ἀμήρυτον τόκον οὐκ ἐδάη· ἅμα πατρὶ φάνη αἰωνογόνος ὁ γενησόμενος. Τίς ἐπ’ ἀφθέγκτοις ἐβράβευσε τομάν; ἀλαῶν μερόπων δαιδαλογλώσσων ἄθεοι τόλμαι. Σὺ δὲ φωτοδότας φωτὸς νοεροῦ, σκολιᾶς δ’ ἀπάτας ἀνέχεις ὁσίων πραπίδας μερόπων, ἐς ζόφον ὕλας μὴ καταδῦναι. Σέ, πάτερ κόσμων, πάτερ αἰώνων, αὐτουργὲ θεῶν, εὐαγὲς αἰνεῖν.

σὲ μὲν οἱ νοεροὶ μέλπουσιν, ἄναξ, σὲ δὲ κοσμαγοὶ ὀμματολαμπεῖς νόες ἀστέριοι ὑμνοῦσι, μάκαρ, οὓς πέρι κλεινὸν σῶμα χορεύει. πᾶσά σε μέλπει γενεὰ μακάρων, οἳ περὶ κόσμον, οἳ κατὰ κόσμον, οἳ ζωναῖοι οἵ τ’ ἄζωνοι κόσμου μοίρας ἐφέπουσι σοφοὶ ἀμφιβατῆρες, οἱ περὶ κλεινοὺς οἰηκοφόρους, οὓς ἀγγελικὰ προχέει σειρά, τό τε κυδῆεν γένος ἡρώων ἔργα τὰ θνητῶν κρυφίαισιν ὁδοῖς διανισσόμενον, ἔργα βρότεια· ψυχά τ’ ἀκλινὴς καὶ κλινομένα ἐς μελαναυγεῖς χθονίους ὄγκους· σὲ μάκαιρα φύσις φύσεώς τε γονὰ ὑμνεῖ 〈σε〉, μάκαρ, τὰς ζειδώροις ἐφέπεις πνοιαῖς ἀπὸ σῶν ὀχετῶν κατασυρομέναις, προκυλινδομέναις. Σὺ γάρ, ἀχράντων ἡγέτα κόσμων, φύσις εἶ φυσίων· σὺ φύσιν θάλπεις, γένεσιν θνατῶν, τᾶς ἀενάω ἴνδαλμα μονᾶς, ἵνα καὶ πυμάτα μερὶς ἐν κόσμῳ λελάχῃ ζωᾶς [λελάχῃ ζωαῖς] ἐπαμειβομένας.

οὐ γὰρ θέμις ἦν τρύγα τὰν κόσμου κορυφαῖς ἐρίσαι· τὸ δὲ ταχθὲν ὅλως ἐς χορὸν ὄντων οὐκέτ’ ὀλεῖται, ἄλλο δ’ ἀπ’ ἄλλου διά τ’ ἀλλήλων πάντ’ ἀπολαύει· ἐξ ὀλλυμένων κύκλος ἀίδιος ταῖς σαῖς πνοιαῖς ἀναθαλπόμενος. Σοὶ διὰ πάντων ἵστησι χοροὺς μάτειρα φύσις, ἰδίαις χροιαῖς, ἰδίοις ἔργοις δαιδαλλομένων· ἐκ δὲ ζωᾶν ἑτεροφθόγγων μίαν ἁρμονίαν ὁμόφωνον ἄγει. σοὶ πάντα φέρει αἶνον ἀγήρων· ἀὼς καὶ νύξ, στεροπαί, νιφάδες, οὐρανὸς ἀκμὴς αἴθων καὶ γᾶς ῥίζαι, ὕδωρ, ἀήρ, σώματα πάντα, πνεύματα πάντα, σπέρματα, καρποί, φυτὰ καὶ ποῖαι, ῥίζαι, βοτάναι, βοτὰ καὶ πτηνά, καὶ νηχομένων νεπόδων ἀγέλαι. Ἴδε καὶ ψυχὰν ὀλιγοδρανέα, ὀλιγηπελέα, ἐπὶ σᾶς Λιβύας, ἐπὶ σᾶς σεπτᾶς ἱερηπολίας ὁσίαις εὐχαῖς ἐπιμελπομέναν, τὰν ἀμφιπολεῖ νέφος ὑλαῖον· σὸν δ’ ὄμμα, πάτερ, κοπτικὸν ὕλας.

Νῦν μοι κραδία, τοῖς σοῖς ὕμνοις πιαινομένα, ἐθόωσε νόον πυρίαις ὁρμαῖς· σὺ δὲ λάμψον, ἄναξ, ἀναγωγὰ φάη· νεῦσον δέ, πάτερ, σῶμα φυγοῖσαν μηκέτι δῦναι ἐς χθονὸς ἄταν· ὄφρα δὲ ζωᾶς ὑλοδιαίτου δεσμοῖσι μένω, πραεῖα, μάκαρ, βόσκοι με τύχα· μηδ’ ἐμπόδιον πνεύσειε νόου φροντίσι λυγραῖς δάπτοισα βίον, ἵνα μὴ τὰ θεοῦ ἄσχολος εἴην· μηδ’ ἔτι τοίοις ἐναλινδοίμαν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅθεν ἐκπροφυγὼν δώροισι τεοῖς στέφος εὐαγέων ἀπὸ λειμώνων σοὶ τοῦτο πλέκων σοὶ τόνδε φέρω αἶνον, ἀχράντων ἡγέτα κόσμων, καὶ παιδὶ σοφῷ σαυτοῦ σοφίᾳ, τὸν ἀπ’ ἀρρήτων ἔχεας κόλπων. ἐν σοὶ δὲ μένει σέθεν ἐκπροθορών, ἵνα πάντα σοφαῖς ἐφέπῃ πνοιαῖς, διέπῃ πολιῶν βάθος αἰώνων, διέπῃ ταρσοὺς κραναοῦ κόσμου μέχρι καὶ νεάτου πυθμένος ὄντων, χθονίας μοίρας, ὁσίαις πραπίσιν ἐλλαμπόμενος, λύῃ δὲ πόνους ἠδὲ μερίμνας διερῶν μερόπων, ἀγαθῶν κράντωρ, ἐλατὴρ ἀχέων· τί δὲ θαῦμα θεὸν τὸν κοσμοτέχναν ἰδίων ἔργων κῆρας ἐρύκειν; Τόδε σοι, μεγάλου κοίρανε κόσμου, τίσων ἔμολον χρέος ἐκ Θρῄκης, ἵνα τὰν τριέτιν ᾤκησα γύαν παρ’ ἀνακτόριον γαίας μέλαθρον, ἔτλαν δὲ πόνους, ἔτλαν δ’ ὀδύνας πολυδακρύτους ὤμοισι φέρων ματέρα πάτραν. ῥαίνετο μὲν γᾶ ἱδρῶτι μελῶν ἀεθλευόντων ἆμαρ ἐπ’ ἆμαρ· ῥαίνετο δ’ εὐνὰ κανθῶν λιβάσιν ὀλοφυρομένων νύκτ’ ἐπὶ νύκτα. νηοὶ δ’ ὁπόσοι δώμηθεν, ἄναξ, ἐπὶ σαῖς ἁγίαις τελετηφορίαις, ἐπὶ πάντας ἔβαν πρηνὴς ἱκέτας, δάπεδον βλεφάρων δεύων νοτίσι, μή μοι κενεὰν ὁδὸν ἀντᾶσαι· ἱκέτευσα θεοὺς δραστῆρας, ὅσοι γονόεν Θρῄκης κατέχουσι πέδον, οἵ τ’ ἀντιπέρην Χαλκηδονίας ἐφέπουσι γύας, οὓς ἀγγελικαῖς ἔστεψας, ἄναξ, αὐγαῖσι, τεοὺς ἱεροὺς προπόλους· σύν μοι μάκαρες ἐλάβοντο λιτᾶν, σύν μοι πολέων ἐλάβοντο πόνων. οὔ μοι ζωὰ ταμόσδε φίλα, διὰ γᾶν πατρίαν στυφελιζομέναν, τὰν ἐξ ἀχέων ἔστασας, ἄναξ, αὐτός, ἀγήρως κοίρανε κόσμου. Ἤδη ψυχᾶς ἀποτρυομένας, ἤδη μελέων κατερειπομένων, ὑπέρεισας ἐμὰν ἄρθρων δύναμιν, τλᾶμον ψυχᾷ μένος ἔμπνευσας, καμάτων δὲ γλυκὺ εὗρεο τέκμωρ, κατὰ θυμὸν ἐμὸν ἔργοισιν, ἄναξ, ὀπάσας δολιχῶν ἄμπαυμα πόνων. Τὰ σὺ πάντα, μάκαρ, Λιβύεσσι σάου ἐς μηκεδανὸν μήρυμα χρόνου διὰ σᾶς μνάμαν εὐεργεσίας, διά τε ψυχὰν αἰνὰ παθοῖσαν. Ἱκέτᾳ δὲ δίδου βιοτὰν ἀσινῆ· λῦέ με μόχθων, λῦέ με νούσων, λῦε μεριμνᾶν κηριτρεφέων, νεῦσον νοερὰν προπόλῳ ζωάν, μή μοι χθονίους ὄμβρους ἀφένου κρίνειας, ἄναξ, ἵνα μὴ τὰ θεοῦ ἄσχολος εἴην· μηδὲ κατηφὴς πενία μελάθροις ἐγχριμπτομένα περὶ γᾶν ἕλκοι φροντίδα θυμοῦ. ἄμφω ψυχὰν βρίθει περὶ γᾶν, ἄμφω δὲ νόου ἐπίληθα πέλει, ὅτε μὴ σύ, μάκαρ, ὀρέγοις ἀλκάν. Ναί, πάτερ, ἁγνᾶς παγὰ σοφίας, λάμψον πραπίσιν ἀπὸ σῶν κόλπων νοερὸν φέγγος· στράψον κραδίᾳ ἀπὸ σᾶς ἀλκᾶς σοφίας αὐγάν· κὰς τὰν ἐπὶ σὲ ἱερὰν ἀτραπὸν σύνθημα δίδου σφραγῖδα τεάν, κηριτρεφέας δαίμονας ὕλας σεύων ζωᾶς εὐχᾶς τ’ ἀπ’ ἐμᾶς, καὶ σῶμα σάου ἀρτεμές, ἐχθραῖς ἄβατον λώβαις, καὶ πνεῦμα σάου ἀμόλυντον, ἄναξ. Ἦ μὰν ἤδη δνοφερὰν ὕλας κηλῖδα φέρω, ἔχομαι δὲ πόθοις, χθονίοις δεσμοῖς. σὺ δὲ ῥύσιος εἶ, σὺ καθάρσιος εἶ· ἀπόλυε κακῶν, ἀπόλυε νόσων, ἀπόλυε πέδας. σὸν σπέρμα φέρω, εὐηγενέος σπινθῆρα νόου ἐς βάθος ὕλας κατακεκλιμένον. σὺ γὰρ ἐν κόσμῳ κατέθου ψυχάν, διὰ δὲ ψυχᾶς ἐν σώματι νοῦν ἔσπειρας, ἄναξ. Τὰν σὰν κούραν ἐλέαιρε, μάκαρ. Κατέβαν ἀπὸ σοῦ χθονὶ θητεῦσαι, ἀντὶ δὲ θήσσας γενόμαν δούλα· ὕλα με μάγοις ἐπέδησε τέχναις. Ἔνι μάν, ἔνι μοι βαιόν τι μένος κρυφίας γλήνας· οὔπω πᾶσαν ἔσβεσεν ἀλκάν, κέχυται δὲ πολὺς ἐφύπερθε κλύδων, ἀλαῶπα τιθεὶς τὰν θεοδερκῆ. Ἐλέαιρε, πάτερ, κούραν ἱκέτιν, τὰν πολλάκι δή, νοεραῖς ἀνόδοις ἐπιβαλλομέναν, λαμυρᾶς ὕλας ἵμερος ἄγχει.

σὺ δὲ λάμψον, ἄναξ, ἀναγωγὰ φάη, ἅψον δὲ σέλας καὶ πυρκαϊάν, σπέρμα τὸ βαιὸν αὔξων ἐν ἐμῷ κρατὸς ἀώτῳ.

θρόνισόν με, πάτερ, φωτὸς ἐν ἀλκᾷ ζωηφορίου, ἵνα χεῖρα φύσις οὐκ ἐπιβάλλει, ὅθεν οὐκέτι γᾶ, οὐ μοιραία κλῶσις ἀνάγκας παλίνορσον ἄγει. Λιπέτω, φυγέτω δολερὰ γένεσις θεράποντα τεόν· ἐμέθεν δέ, πάτερ, χθονίου τε κλόνου πῦρ μέσον εἴη.

νεῦσον, γενέτα, νεῦσον προπόλῳ ἤδη νοεροὺς πετάσαι ταρσούς. ἤδη φερέτω σφραγῖδα πατρὸς ἱκέτις ψυχά, δεῖμα μὲν ἐχθροῖς δαίμοσιν, οἳ γᾶς ἀπὸ κευθμώνων ἀναπαλλόμενοι πνείουσι βροτοῖς ἀθέους ὁρμάς· σύνθημα δὲ σοῖς ἁγνοῖς προπόλοις, οἳ κατὰ κλεινοῦ βένθεα κόσμου πυρίων ἀνόδων κληϊδοφόροι, ἵνα μοι φάεος πετάσωσι πύλας, ἔτι δ’ ἀλεμάτας ἐπὶ γᾶς ἕρπων, μὴ χθονὸς εἴην. Πυρίων δ’ ἔργων καὶ τῇδε δίδου μάρτυρα καρπόν, ὀμφὰς ἀτρεκεῖς, ὅσα τ’ ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ψυχαῖς τὰν ἀμβροσίαν ἐλπίδα θάλπει. Μετά μοι μέλεται χθονίας βιοτᾶς. Ἔρρετε λῆμαι ἀθέων μερόπων πτολίων τε κράτη· ἔρρετε πᾶσαι ἆται γλυκεραὶ ἄχαρίς τε χάρις, οἷσι ψυχὰν θωπευομέναν γᾶ λάτριν ἔχει. ἆ μέγα δειλά 〈........〉 ἰδίων τ᾽ ἀγαθῶν ἔπιεν λάθαν, μέχρις ἐγκύρσῃ φθονερᾷ μερίδι· δοιὰς γὰρ ἔχει μαστροπὸς ὕλα· ὃς δὲ τραπέζας ἐπορεξάμενος μελιχρῶν ἔθιγεν, ἦ μέγα κλαύσει πικρὰν μερίδα, τῶν ἀντίξων συνεφελκομένων. ὅδε γὰρ χθονίας θεσμὸς ἀνάγκας διχόθεν θνατοῖς βίον οἰνοχοεῖ· τὸ δ᾽ ἀκηράσιον ἀμιγές τ᾽ ἀγαθὸν θεὸς ἢ τὰ θεοῦ. Μεθύοισα γλυκεῖ κρητῆρι, γύας ἔψαυσα κακῶν, ἐνέκυρσα πάγᾳ, ἐδάην ἄταν Ἐπιμηθιάδα. στυγέω δὲ νόμους ἀλλοπροσάλλους· ἐς τὸν ἀκηδῆ λειμῶνα πατρὸς σπεύδω, τανύω φυγάδας ταρσούς, φυγάδας διδύμων ὕλας δώρων. Ἴδε με, ζωᾶς νοερᾶς ταμία, ἴδε σὰν ἱκέτιν ψυχὰν ἐπὶ γᾶς νοεραῖς ἀνόδοις ἐπιβαλλομέναν.

1.(700) σὺ δὲ λάμψον, ἄναξ, ἀναγωγὰ φάη, πτερὰ κοῦφα διδούς· ἅμμα δὲ κόψον, χάλασον περόναν διδύμων παθέων, οἷσι ψυχὰς δολόεσσα φύσις κάμπτει κατὰ γᾶς· δός με, φυγοῖσαν σώματος ἄταν, θοὸν ἅλμα βαλεῖν ἐπὶ σὰς αὐλάς, ἐπὶ σοὺς κόλπους, ὅθεν ἁ ψυχᾶς προρέει παγά. Λιβὰς οὐρανία κέχυμαι κατὰ γᾶς· παγᾷ με δίδου, ὅθεν ἐξεχύθην φοιτὰς ἀλῆτις· νεῦσον προγόνῳ φωτὶ μιγῆναι, νεῦσον δ᾽ ὑπὸ σοὶ πρυτανευομέναν σὺν ἄνακτι χορῷ ἀνάγειν ὁσίως νοεροὺς ὕμνους, νεῦσον δέ, πάτερ, φωτὶ μιγεῖσαν μηκέτι δῦναι ἐς χθονὸς ἄταν.

1.(700) ὄφρα δὲ ζωᾶς ὑλοδιαίτου δεσμοῖσι μένω, πραεῖα, μάκαρ, βόσκοι με τύχα.

2.(50) Σὲ μὲν ἀρχομένας, σὲ δ᾽ ἀεξομένας, σὲ δὲ μεσσοίσας, σὲ δὲ παυομένας ἀοῦς ἱερᾶς, ζαθέας νυκτός, μέλπω, γενέτα, παιὼν ψυχᾶν, παιὼν γυίων, δῶτορ σοφίας, ἐλατὴρ νούσων, δῶτορ ψυχαῖς ἀπόνου βιοτᾶς, ἃν μὴ στείβει χθονία φροντίς, μάτηρ ἀχέων, μάτηρ παθέων, ὧν μοι ζωὰ καθαρὰ μενέτω, ἵνα τὰν πάντων κρυφίαν ῥίζαν ἀμενὴς ἀλέγω, μηδ᾽ ἀπαγωγοῖς ἄτῃσι θεοῦ νοσφιζοίμαν. Σέ, μάκαρ, μέλπω, κοίρανε κόσμου. Γᾶ σιγάτω ἐπὶ σοῖς ὕμνοις, ἐπὶ σαῖς εὐχαῖς· εὐφαμείτω ὅσα κόσμος ἔχει· σὰ γὰρ ἔργα, πάτερ. Καππαυέσθω ἀνέμων ῥοῖζος, ἦχος δένδρων, θρόος ὀρνίθων· ἥσυχος αἰθήρ, ἥσυχος ἀὴρ κλυέτω μολπᾶς· ὑδάτων δὲ χύσις ἄψοφος ἤδη στάτω κατὰ γᾶς. οἱ δ᾽ ἐμπόδιοι ἁγίων ὕμνων κευθμωνοχαρεῖς καὶ τυμβονόμοι δαίμονες ἤδη φυγέτωσαν ἐμὰν ὁσίαν εὐχάν· ἀγαθοὶ δ᾽ ὁπόσοι μάκαρες νοεροῦ πρόπολοι γενέτου κατέχουσι βάθη ἄκρα τε κόσμου, ὕμνων ἵλεῳ πεύθοιντο πατρός, ἵλεῳ δὲ λιτὰς ἀνάγοιεν ἐμάς.

2.(50) Μονὰς ὦ μονάδων, πάτερ ὦ πατέρων, ἀρχῶν ἀρχά, παγῶν παγά, ῥιζῶν ῥίζα, ἀγαθῶν ἀγαθόν, ἄστρων ἄστρον, κόσμων κόσμε, ἰδεῶν ἰδέα, βύθιον κάλλος, κρύφιον σπέρμα, πάτερ αἰώνων, πάτερ ἀφθέγκτων νοερῶν κόσμων, ὅθεν ἀμβροσία σταλάοισα πνοά, σώματος ὄγκοις ἐπινηξαμένα, δεύτερον ἤδη κόσμον ἀνάπτει.

2.(50) Ὑμνῶ σε, μάκαρ, καὶ διὰ φωνᾶς, ὑμνῶ σε, μάκαρ, καὶ διὰ σιγᾶς· ὅσα γὰρ φωνᾶς, τόσα καὶ σιγᾶς ἀίεις νοερᾶς. Ὑμνῶ δὲ γόνον τὸν πρωτόγονον καὶ πρωτοφαῆ.

2.(100) Γόνε κύδιστε πατρὸς ἀφθέγκτου, σέ, μάκαρ, μεγάλῳ πατρὶ συνυμνῶ, καὶ τὰν ἐπὶ σοὶ ὠδῖνα πατρός, γόνιμον βουλάν, μεσάταν ἀρχάν, ἁγίαν πνοιάν, κέντρον γενέτου, κέντρον δὲ κόρου. αὐτὰ μάτηρ, αὐτὰ γνωτά, αὐτὰ θυγάτηρ, μαιωσαμένα κρυφίαν ῥίζαν. ἵνα γὰρ προχυθῇ ἐπὶ παιδὶ πατήρ, αὐτὰ πρόχυσις εὕρετο βλάσταν, ἔστη δὲ μέσα, θεὸς ἔκ τε θεοῦ διὰ παῖδα θεόν· καὶ διὰ κλεινὰν πατρὸς ἀθανάτου πρόχυσιν πάλι παῖς εὕρετο βλάσταν. Μονὰς ἁ τριττύς, μονὰς ἅ γε μένει καὶ τριὰς ἤδη.

2.(100) Νοερὰ δὲ τομὰ ἄσχιστον ἔτι τὸ μερισθὲν ἔχει· προθορὼν δὲ μένει γόνος ἐς γενέταν, καὶ πάλιν ἔξω τὰ πατρὸς διέπει, κόσμοις κατάγων ὄλβον ζωᾶς ὅθεν αὐτὸς ἔχει λόγος, ὃν μεγάλῳ πατρὶ συνυμνῶ. Νόος ἀρρήτου τίκτει σε πατρός, καὶ σὺ κυηθεὶς λόγος εἶ γενέτου, πρῶτος πρώτας προθορὼν ῥίζας, ῥίζα δὲ πάντων τῶν μετὰ κλεινὰν τὰν σὰν γένναν. Μονὰς ἄρρητος, σπέρμα τὸ πάντων, σπέρμα σε πάντων ἐσπέρμηνεν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.(150) σὺ γὰρ ἐν πᾶσιν, διὰ σοῦ δὲ φύσις ὑπάτα, μεσάτα νεάτα τε τεοῦ ἀπέλαυσε πατρὸς ἀγαθῶν δώρων γονίμου ζωᾶς. σοὶ μὲν ἀγήρως ἄπονον τροχιὰν σφαῖρα κυλίνδει· ὑπὸ σὰν τάξιν, κύτεος μεγάλου βριαραῖς δίναις, ἑβδομὰς ἄστρων ἀντιχορεύει· τὰ δὲ πολλὰ μίαν πτύχα καλλύνει φέγγεα κόσμου διὰ σὰν βουλάν, γόνε κύδιστε· σὺ γὰρ ἀμφιθέων κύτος οὐράνιον δρόμον αἰώνων ἄλυτον συνέχεις· ὑπὸ σοῖς δέ, μάκαρ, ἁγίοις θεσμοῖς ἐν ἀπειροβαθοῦς αἴθρας λαγόσιν πολιῶν ἄστρων ἀγέλα νέμεται.

2.(150) Σὺ μὲν οὐρανίοις, σὺ δ᾽ ἐνηερίοις, σὺ δ᾽ ἐπιχθονίοις, σὺ δ᾽ ὑποχθονίοις ἔργα μερίζεις ζωάν τε νέμεις. σὺ νόου πρύτανις ταμίας τε θεοῖς θνατῶν θ᾽ ὁπόσοι νοερᾶς μοίρας ἔσπασαν ὄμβρους. σὺ ψυχοδότας οἷς ἐκ ψυχᾶς τέταται ζωὰ καὶ φύσις ἀκμής.

2.(250) ἀλαὸν ψυχᾶς βλάστημα τεᾶς κρέμαται σειρᾶς, χὠπόσα πάσας στέρεται πνοιᾶς ἀπὸ σῶν κόλπων δρέπεται συνοχάν, πορθμευομέναν διὰ σᾶς ἀλκᾶς ἐξ ἀρρήτων πατρικῶν κόλπων, κρυφίας μονάδος, ὅθεν ὁ ζωᾶς ὀχετὸς προρέων φέρεται μέχρι γᾶς διὰ σᾶς ἀλκᾶς δι᾽ ἀτεκμάρτων νοερῶν κόσμων· ἔνθεν δέχεται καταβαίνοισαν ἀγαθῶν κράναν, νοεροῦ μορφὰν κόσμος ὁρατός. ἅλιον οὗτος δεύτερον ἔσχεν, ὑστεροφεγγοῦς φωτὸς γενέταν ὀμματολαμπῆ, τᾶς γινομένας καὶ φθειρομένας ταμίαν ὕλας, υἱοῦ νοεροῦ τύπον αἰσθητόν, ἀγαθῶν παροχὰν ἐγκοσμογενῶν διὰ σὰν βουλάν, γόνε κύδιστε. Πάτερ ἄγνωστε, πάτερ ἄρρητε, ἄγνωστε νόῳ, ἄρρητε λόγῳ, νόος ἐσσὶ νόων, ψυχᾶν ψυχά, φύσις εἶ φυσίων. Γόνυ σοι κάμπτω· ἰδὲ τοῦτο, λάτρις πίπτω κατὰ γᾶς, ἱκέτας ἀλαός. Σὺ δὲ φωτοδότας φωτὸς νοεροῦ· ἐλέαιρε, μάκαρ, ἱκέτιν ψυχάν· σεῦε δὲ νούσους, σεῦε μερίμνας τὰς ψυχοβόρους· σεῦε δ᾽ ἀναιδῆ κύνα τὸν χθόνιον, δαίμονα γαίας, ψυχᾶς ἀπ᾽ ἐμᾶς, εὐχᾶς ἀπ᾽ ἐμᾶς, ζωᾶς ἀπ᾽ ἐμᾶς, ἔργων ἀπ᾽ ἐμῶν· σώματος ἔξω, πνεύματος ἔξω, πάντων ἔξω τῶν ἁμετέρων δαίμων μενέτω. Λιπέτω, φυγέτω δαίμων ὕλας, παθέων ἀλκά, ἀναγωγὸν ὁδὸν διατειχίζων, τὰς θεοδιφεῖς βλάπτων ὁρμάς. Ἕταρον δὲ δίδου ξυνωνόν, ἄναξ, ἁγίας ἅγιον ἄγγελον ἀλκᾶς, ἄγγελον εὐχᾶς τᾶς θεολαμποῦς, φίλον ἐσθλοδόταν, φύλακα ψυχᾶς, φύλακα ζωᾶς, εὐχᾶν φρουρόν, ἔργων φρουρόν.

2.(250) σῶμα δὲ σώζοι καθαρὸν νούσων, πνεῦμα δὲ σώζοι καθαρὸν λώβας, ψυχᾷ δ᾽ ἐπάγοι παθέων λάθαν, ἵνα καὶ ζωὰν τὰν γαιοτραφῆ τοῖς σοῖς ὕμνοις πιαίνηται ταρσὸς ψυχᾶς, ἵνα καὶ ζωὰν τὰν μετὰ μοίρας, τὰν μετὰ δεσμοὺς τοὺς χθονοβριθεῖς, καθαρὰν ὕλας ὁδὸν ἐξανύω ἐπὶ σὰς αὐλάς, ἐπὶ σοὺς κόλπους, ὅθεν ἁ ψυχᾶς προρέει παγά. Σὺ δὲ χεῖρα δίδου, σὺ κάλει, σύ, μάκαρ, ὕλας ἄναγε ἱκέτιν ψυχάν.

3 Ὑμνῶμεν κοῦρον νύμφας, νύμφας οὐ νυμφευθείσας ἀνδρῶν μοιραίαις κοίταις. Ἄρρητοι πατρὸς βουλαὶ ἔσπειραν Χριστοῦ γένναν· ἁ σεμνὰ νύμφας ὠδὶς ἀνθρώπου φῆνεν μορφάν, ὃς θνατοῖσιν πορθμευτὰς ἦλθεν φωτὸς παγαίου· ἁ δ᾽ ἄρρητός σευ βλάστα αἰώνων οἶδεν ῥίζαν. Αὐτὸς φῶς εἶ παγαῖον, συλλάμψας ἀκτὶς πατρί, ῥήξας δ᾽ ὀρφναίαν ὕλαν ψυχαῖς ἐλλάμπεις ἁγναῖς. αὐτὸς μὲν κόσμου κτίστας, κλεινῶν σφαιρωτὰς ἄστρων, κέντρων γαίας ῥιζωτάς, αὐτὸς δ᾽ ἀνθρώπων σωτήρ.

3 Σοὶ μὲν Τιτὰν ἱππεύει, ἠοῦς ἄσβεστος παγά· σοὶ δ᾽ ἁ ταυρῶπις μήνα τὰν νυκτῶν ὄρφναν λύει· σοὶ καὶ τίκτονται καρποί, σοὶ καὶ βόσκονται ποῖμναι· ἐκ σᾶς ἀρρήτου παγᾶς ζείδωρον πέμπων αἴγλαν, πιαίνεις κόσμων ταρσούς· ἐκ σῶν βλάστησεν κόλπων καὶ φῶς καὶ νοῦς καὶ ψυχά. Τὰν σὰν οἴκτειρον κούραν γυίοις εἰρχθεῖσαν θνατοῖς μοίρας θ᾽ ὑλαίοις μέτροις. νούσων ἐκσώζοις λώβας ἀσκηθῆ γυίων ἀλκάν. νεῦσον μὲν μύθοις πειθώ, νεῦσον δ᾽ ἔργοισιν κῦδος, ἀρχαίαις πρέψαι φάμαις ταῖς Κυράνας καὶ Σπάρτας.

3.(50) λύπαις δ᾽ ἄστιπτος ψυχὰ πραεῖαν ζωὰν ἕλκοι, θρέπτειραν, δισσὰς γλήνας ἐς σὸν τείνοισαν φέγγος, ὡς ἐξ ὕλας φοιβαθεὶς ἀστρέπτους οἴμους σπεύσω, φύξηλις γαίας μόχθων, μιχθῆναι ψυχᾶς παγᾷ. Τοίαν ἄχραντον ζωὰν τῷ σῷ κραίνοις φορμικτῇ, εὖτ᾽ ἄν σοι στέλλων μολπὰν τὰν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σὰν κυδαίνω ῥίζαν, μήκιστον πατρὸς κῦδος, καὶ τὰν σύνθωκον πνοιάν, μέσσαν ῥίζας καὶ βλάστας, καὶ πατρὸς μέλπων ἀλκὰν τοῖς σοῖς ὕμνοις ἀμπαύω κλεινὰν ὠδῖνα ψυχᾶς. Χαίροις, ὦ παιδὸς παγά, χαίροις, ὦ πατρὸς μορφά· χαίροις, ὦ παιδὸς κρηπίς, χαίροις, ὦ πατρὸς σφρηγίς· χαίροις, ὦ παιδὸς κάρτος, χαίροις, ὦ πατρὸς κάλλος· χαίροις δ' ἄχραντος πνοιά, κέντρον κούρου καὶ πατρός· τάν μοι πέμποις σὺν πατρὶ ἄρδοισαν ψυχᾶς ταρσούς, κράντειραν θείων δώρων.

4 Μετὰ παγᾶς ἁγίας αὐτολοχεύτου, ἀρρήτων ἑνοτήτων ἐπέκεινα, θεὸν ἄμβροτον, θεοῦ κύδιμον υἷα, μόνον ἐκ μόνου πατρὸς παῖδα θορόντα, στεφανώσομεν σοφοῖς ἄνθεσιν ὕμνων· ὃν βουλᾶς πατρικᾶς ἄφραστος ὠδὶς ἀγνώστων ἀνέδειξε παῖδα κόλπων, ἃ πατρὸς λοχίους ἔφηνε καρπούς, καὶ φήνασα φάνη μεσσοπαγὴς νοῦς· ἐν παγᾷ δὲ μένουσι καὶ χυθέντες. Σοφία νόου πατρός, κάλλεος αὐγά, σοὶ τεχθέντι πατὴρ ἔνευσε τίκτειν. Σὺ τὸ κρυπτὸν εἶ πατρὸς σπέρμα προλάμπον· σὲ γὰρ ἀρχὰν γενέτας ἔδωκε κόσμοις κατάγειν ἐκ νοερῶν σώμασι μορφάς· σὺ μὲν οὐρανοῦ σοφὰν ἄντυγα νωμᾷς, τὰν δ' ἄστρων ἀγέλαν ἀεὶ νομεύεις· σὺ δὲ τᾶς ἀγγελικᾶς, ἄναξ, χορείας καὶ τᾶς δαιμονίας φάλαγγος ἄρχεις· σὺ δὲ καὶ φύσιν φθιτὰν ἀμφιχορεύεις, ἀμέριστον περὶ γᾶν πνεῦμα μερίζεις, καὶ παγᾷ τὸ δοθὲν πάλιν συνάπτεις, θνατοὺς ἐκ θανάτου λύων ἀνάγκας. Ἱλήκοις ἐπὶ σῶν στέμμασιν ὕμνων, βιοτᾶς ὑμνοπόλῳ νέμων γαλάναν· εὐρίπων προχοὰν στᾶσον ἀλῆτιν, τερσαίνων ὀλοοὺς κλύδωνας ὕλας· ψυχᾶς καὶ μελέων ἔρυκε νούσους, παθέων οὐλομέναν κοίμισον ὁρμάν, πλούτου καὶ πενίας ἄλαλκε κῆρας, ἔργοις κυδαλίμαν ὄπασσον ὀμφάν, ἐν λαοῖς ἀγαθὰν ἄνοιγε φάμαν, πειθοῦς πραϋλόγω στέφων ἀώτῳ, ἵνα μοι νόος δρέπῃ σχολὰν ἀκύμων, μηδ' ἐν ταῖς χθονίαις στένω μερίμναις, ἀλλ' ἐκ σῶν ὀχετῶν ὑψιφορήτων ὠδῖσιν σοφίας νόον κατάρδω.

5 Πάλι φέγγος, πάλιν ἀώς, πάλιν ἁμέρα προλάμπει μετὰ νυκτίφοιτον ὄρφναν· πάλι μοι λίγαινε, θυμέ, θεὸν ὀρθρίοισιν ὕμνοις, ὃς ἔδωκε φέγγος ἀοῖ, ὃς ἔδωκεν ἄστρα νυκτί, περικοσμίαν χορείαν. Πολυκύμονος μὲν ὕλας ἐκάλυψε νῶτον αἰθὴρ πυρὸς ἐμβεβὼς ἀώτῳ, ἵνα κυδίμα σελάνα πυμάταν ἄντυγα τέμνει· ὑπὲρ ὀγδόαν δὲ δίναν ἑλίκων ἀστροφορήτων ῥόος ἀστέρων ἔρημος, ὑποκολπίους ἐλαύνων πτύχας ἀντίον θεοίσας, μέγαν ἀμφὶ νοῦν χορεύει, ὃς ἄνακτος ἄκρα κόσμου πολιοῖς ἔρεψε ταρσοῖς. τὰ πρόσω μάκαιρα σιγὰ νοερῶν τε καὶ νοητῶν ἄτομον τομὰν καλύπτει.

5.(50) Μία παγά, μία ῥίζα τριφαὴς ἔλαμψε μορφά· ἵνα γὰρ βυθὸς πατρῷος, τόθι καὶ κύδιμος υἱός, κραδιαῖόν τι λόχευμα, σοφία κοσμοτεχνῖτις, ἑνοτήσιόν τε φέγγος ἁγίας ἔλαμψε πνοιᾶς. μία παγά, μία ῥίζα ἀγαθῶν ἀνέσχεν ὄλβον ὑπερούσιόν τε βλάσταν γονίμοις ζέοισαν ὁρμαῖς· τά τ' ἐνουσίων προλάμπει μακάρων ἀγητὰ φέγγη, ὅθεν ἐγκόσμιος ἤδη χορὸς ἀφθίτων ἀνάκτων γενετήριόν τε κῦδος τό τε πρωτόσπορον εἶδος νοεροῖς ἔμελψεν ὕμνοις. πέλας εὐμενῶν τοκήων στρατὸς ἀγγέλων ἀγήρως τὰ μὲν ἐς νόον δεδορκὼς δρέπεται κάλλεος ἀρχάν, τὰ δ' ἐς ἄντυγας δεδορκὼς διέπει βένθεα κόσμου, τὸν ὕπερθε κόσμον ἕλκων νεάτας καὶ μέχρις ὕλας, ἵνα δαιμόνων ὅμιλον φύσις ἱζάνοισα τίκτει πολύθρουν καὶ πολυμήταν· ὅθεν ἥρως, ὅθεν ἤδη περὶ γᾶν σπαρεῖσα πνοιὰ χθονὸς ἐζώωσε μοίρας πολυδαιδάλοισι μορφαῖς. Τὰ δὲ πάντα σεῖο βουλᾶς ἔχεται· σὺ δ' ἐσσὶ ῥίζα παρεόντων πρό τ' ἐόντων, μετεόντων, ἐνεόντων· σὺ πατήρ, σὺ δ' ἐσσὶ μάτηρ, σὺ μὲν ἄρρην, σὺ δὲ θῆλυς, σὺ δὲ φωνά, σὺ δὲ σιγά, φύσεως φύσις γονοῦσσα, σὺ δ' ἄναξ, αἰῶνος αἰών. Τὸ μὲν ᾖ θέμις βοᾶσαι· μέγα χαῖρε, ῥίζα κόσμου, μέγα χαῖρε, κέντρον ὄντων, μονὰς ἀμβρότων ἀριθμῶν, προανουσίων ἀνάκτων· μέγα χαίροις, μέγα χαίροις, ὅτι πὰρ θεῷ τὸ χαίρειν.

5.(50) Ἐπ' ἐμοῖς ἵλαον οὖας τάνυσον χοροῖσιν ὕμνων· σοφίας ἄνοιγε φέγγος, κατάχει κύδιμον ὄλβον, κατάχει χάριν λιπῶσαν βιοτᾶς γαληνιώσας, πενίαν ἐκτὸς ἐλαύνων χθονίαν τε κῆρα πλούτου· μελέων ἔρυκε νούσους παθέων τ' ἄκοσμον ὁρμάν, φρενοκηδεῖς τε μερίμνας ἀπό μοι ζωᾶς

ἐρύκοις, ἵνα μὴ τὸ νοῦ πτέρωμα ἐπιβρίσῃ χθονὸς ἄτα. Ἄνετον δὲ ταρσὸν αἴρων περὶ σᾶς ὄργια βλάστας τὰ πανάρρητα χορεύσω.

6 Πρῶτος νόμον εὑρόμαν ἐπὶ σοί, μάκαρ, ἄμβροτε, γόνε κύδιμε παρθένου, Ἰησοῦ Σολυμήϊε, νεοπαγέσιν ἁρμογαῖς κρέξαι κιθάρας μίτους. Ἀλλ᾽ εὐμενέοις, ἄναξ, καὶ δέχνυσο μουσικὰν ἐξ εὐαγέων μελῶν.

6 Ὑμνήσομεν ἄφθιτον θεόν, υἶα θεοῦ μέγαν, αἰωνοτόκου πατρὸς τὸν κοσμογόνον κόρον, τὰν παντομιγῆ φύσιν, σοφίαν ἀπερείσιον, τὸν ἐπουρανίοις θεόν, τὸν ὑποχθονίοις νέκυν. Ἐχύθης ὅτ᾽ ἐπὶ χθονὶ βροτέας ἀπὸ νηδύος, μάγος ἁ πολύφρων τέχνα ἐξ ἀστέρος ἀντολᾶς θάμβησεν ἀμήχανος, τί τὸ τικτόμενον βρέφος, τίς ὁ κρυπτόμενος θεός, βασιλεύς, θεὸς ἢ νέκυς. Ἄγε, δῶρα κομίζετε, σμύρνης ἐναγίσματα, χρυσοῦ τ᾽ ἀναθήματα, λιβάνου τε θύη καλά.

6 Θεὸς εἶ, λίβανον δέχου· χρυσὸν βασιλεῖ φέρω· σμύρνῃ τάφος ἁρμόσει. Καὶ γᾶν ἐκαθήραο, καὶ πόντια κύματα, καὶ δαιμονίας ὁδούς, ῥαδινὰν χύσιν ἀέρος, καὶ νερτερίους μυχούς, φθιμένοισι βοηθόος, θεὸς εἰς Ἀίδαν σταλείς.

6 Ἀλλ᾽ εὐμενέοις, ἄναξ, καὶ δέχνυσο μουσικὰν ἐξ εὐαγέων μελῶν.

7.(50) Ὑπὸ Δώριον ἁρμογὰν ἐλεφαντοδέτων μίτων στάσω λιγυρὰν ὄπα ἐπὶ σοί, μάκαρ, ἄμβροτε, γόνε κύδιμε παρθένου. Σὺ δέ μου βιοτὰν σάου παναπήμονα, κοίρανε, λύπαις ἄβατον διδοὺς καὶ νύκτα καὶ ἁμέραν· λάμποις πραπίσιν σέλας νοερᾶς ἀπὸ παγᾶς· σθένος ἀρτεμέων μελῶν καὶ κῦδος ἐν ἔργμασιν νεότατι νέμοις ἐμᾷ, λιπαρὸν δὲ φέροις ἔτος ἐς γήραος ἁδονὰν ἐρίτιμον ἀέξων πινυτὰν σὺν ὑγείᾳ. Γνωτὸν δὲ φυλάσσοις, τόν μοι νέον, ἄφθιτε, ἤδη χθονίαν πύλαν παραμειβόμενον ποδὶ ἄψορρον ἀνήγαγες· ἐμὰ κήδεα καὶ γόους, ἐμὰ δάκρυα καὶ φρενῶν σβέσας αἰθομέναν φλόγα· ἐβιώσαο καὶ νέκυν διὰ σόν, πάτερ, οἰκέταν. Γνωτᾶν τε συνωρίδα τεκέων τε φυλάσσοις· ὅλον Ἡσυχιδᾶν δόμον ὑπὸ σᾷ χερὶ κρύπτοις. Καί μοι ζυγίων, ἄναξ, ξυνήονα δεμνίων ἀπόνουσον, ἀπήμονα, ἐρίηρον, ὁμόφρονα, κρυφίων ἀδαήμονα ὀάρων ἄλοχον σάου· ὅσιον δ᾽ ἐφέποι λέχος πανακήρατον, εὐαγές, ἀδίκοις ἄβατον πόθοις. Ψυχὰν δέ, λυθεῖσαν χθονίου βιότου πέδας, ἐξαίνυσο πημάτων καὶ λευγαλέας ἄλας, σὺν δ᾽ εὐαγέων χοροῖς ὕμνους ἀνάγειν δίδου. Ἐπὶ κύδεϊ σοῦ πατρὸς καὶ κάρτεϊ σῷ, μάκαρ, πάλιν ὑμνοπολεύσω, πάλι σοι μέλος ᾄσω, τάχα καὶ κιθάραν πάλιν πανακήρατον ἁρμόσω.

8 Πολυήρατε, κύδιμε, σέ, μάκαρ, γόνε παρθένου ὑμνῶ Σολυμηΐδος, ὃς τὰν δολίαν πάγαν, χθόνιον μεγάλων ὄφιν πατρὸς ἤλασας ὀρχάτων, ὃς καρπὸν ἀπώμοτον, τροφὸν ἀργαλέου μόρου, πόρεν ἀρχεγόνῳ κόρᾳ.

8.(50) Στεφανηφόρε, κύδιμε, σέ, πάτερ, πάϊ παρθένου ὑμνῶ Σολυμηΐδος. Κατέβας μέχρι καὶ χθονὸς ἐπίδημος ἐφαμέροις βρότεόν τε φέρων δέμας κατέβας δ᾽ ὑπὸ Τάρταρα, ψυχᾶν ὅθι μυρία θάνατος νέμεν ἔθνεα· φρίξεν σε γέρων τότε Ἀίδας ὁ παλαιγενής, καὶ λαοβόρος κύων, 〈 *** 〉 ὁ βαρυσθενής, [δημοβόρος] ἀνεχάσσατο βηλοῦ. λύσας δ᾽ ἀπὸ πημάτων ψυχᾶν ὁσίους χορούς, θιάσοις σὺν ἀκηράτοις ὕμνους ἀνάγεις πατρί. Στεφανηφόρε, κύδιμε, σε, πάτερ, πάϊ παρθένου ὑμνῶ Σολυμηΐδος. Ἀνιόντα σε, κοίρανε, τὰ κατ᾽ ἠέρος ἄσπετα τρέσεν ἔθνεα δαιμόνων· θάμβησε δ᾽ ἀκηράτων χορὸς ἄμβροτος ἀστέρων· αἰθὴρ δὲ γελάσσας, σοφὸς ἁρμονίας πατήρ, ἐξ ἑπτατόνου λύρας ἐκεράσσατο μουσικὰν ἐπινίκιον ἐς μέλος. μείδησεν Ἑωσφόρος, ὁ διάκτορος ἁμέρας, καὶ χρύσεος Ἕσπερος, Κυθερήϊος ἀστήρ· ἁ μὲν κερόεν σέλας πλήσασα ῥόου πυρὸς ἀγεῖτο σελάνα, ποιμὴν νυχίων θεῶν· τὰν δ᾽ εὐρυφαῆ κόμαν Τιτὰν ἐπετάσσατο ἄρρητον ὑπ᾽ ἴχνιον, ἔγνω δὲ γόνον θεοῦ, τὸν ἀριστοτέχναν νόον, ἰδίου πυρὸς ἀρχάν.

8.(50) Σὺ δὲ ταρσὸν ἐλάσσας κυανάντυγος οὐρανοῦ ὑπερήλαο νώτων, σφαίρῃσι δ᾽ ἐπεστάθης νοεραῖσιν ἀκηράτοις, ἀγαθῶν ὅθι παγά, σιγώμενος οὐρανός. Ἔνθ᾽ οὔτε βαθύρροος ἀκαμαντοπόδας χρόνος χθονὸς ἔκγονα σύρων, οὐ κῆρες ἀναιδέες βαθυκύμονος ὕλας· ἀλλ᾽

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὸς ἀγήραος αἰὼν ὁ παλαιγενής, νέος ὢν ἅμα καὶ γέρων, τᾶς ἀενάω μονᾶς ταμίας πέλεται θεοῖς.

9 Ἄγε μοι, λίγεια φόρμιγξ, μετὰ Τηΐαν ἀοιδάν, μετὰ Λεσβίαν τε μολπάν, γεραρωτέροις ἐφ’ ὕμνοις κελάδει Δώριον ᾠδάν, ἁπαλαῖς οὐκ ἐπὶ νύμφαις ἀφροδίσιον γελώσαις, θαλερῶν οὐδ’ ἐπὶ κούρων πολυηράτοισιν ἥβαις· θεοκύμονος γὰρ ἁγνὰ σοφίας ἄχραντος ὠδὶς μέλος ἐς θεῖον ἐπείγει κιθάρας μίτους ἐρέσσειν, μελιχρὰν δ’ ἄνωγεν ἄταν χθονίων φυγεῖν ἐρώτων. τί γὰρ ἀλκά, τί δὲ κάλλος, τί δὲ χρυσός, τί δὲ φᾶμαι βασιλήϊοί τε τιμαὶ παρὰ τὰς θεοῦ μερίμνας; Ὁ μὲν ἵππον εὖ διώκοι, ὁ δὲ τόξον εὖ τιταίνοι, ὁ δὲ θημῶνα φυλάσσοι κτεάνων, χρύσεον ὄλβον· ἑτέρῳ δ’ ἄγαλμα χαίτη καταειμένη τενόντων· πολύυμνος δέ τις εἴη παρὰ κούροις, παρὰ κούραις ἀμαρύγμασιν προσώπων· ἐμὲ δ’ ἀψόφητον εἴη βιοτὰν ἄσημον ἕλκειν, τὰ μὲν εἰς ἄλλους ἄσημον, τὰ δὲ πρὸς θεὸν ἰδυῖαν. σοφία δέ μοι παρείη, ἀγαθὰ μὲν νεότατα, ἀγαθὰ δὲ γῆρας ἕλκειν, ἀγαθὰ δ’ ἄνασσα πλούτου· πενίαν δ’ ἄμοχθος οἴσει σοφία γελῶσα, πικραῖς ἄβατον βίου μερίμναις, μόνον εἰ τόσον παρείη ὅσον ἄρκιον καλιῆς ἀπὸ γειτόνων ἐρύκειν, ἵνα μὴ χρεώ με κάμπτοι ἐπὶ φροντίδας μελαίνας.

9 κλύε καὶ τέττιγος ᾠδὰν δρόσον ὀρθρίαν πιόντος. Ἴδε μοι βοῶσι νευραὶ ἀκέλευστα καί τις ὀμφὰ περί τ’ ἀμφί με ποτᾶται.

9.(50) Τί ποτ’ ἆρα τέξεταί μοι μέλος ἁ θέσκελος ὠδίς; Ὁ μὲν αὐτόσσυτος ἀρχά, ταμίας πατήρ τ’ ἐόντων, ἀλόχευτος, ὑψιθώκων ὑπὲρ οὐρανοῦ καρήνων ἀλύτῳ κύδεϊ γαίων θεὸς ἔμπεδος θαάσσει, ἑνοτήτων ἑνὰς ἁγνά, μονάδων μονάς τε πρώτα, ἁπλότητας ἀκροτήτων ἑνίσασα καὶ τεκοῦσα ὑπερουσίοις λοχείαις· ὅθεν αὐτὴ προθοροῦσα διὰ πρωτόσπορον εἶδος μονὰς ἄρρητα χυθεῖσα τρικόρυμβον ἔσχεν ἀλκάν, ὑπερούσιος δὲ παγὰ στέφεται κάλλεϊ παίδων ἀπὸ κέντρου τε θορόντων, περὶ κέντρον τε ῥυέντων. Μένε μοι, θρασεῖα φόρμιγξ, μένε, μηδὲ φαῖνε δήμοις τελετὰς ἀνοργιάστοις. ἴθι, καὶ τὰ νέρθε φώνει· τὰ δ’ ἄνω σιγὰ καλύπτοι. ὁ δὲ νοῦς οἴοισιν ἤδη μέλεται νοοῖσι κόσμοις· ἀγαθὰ γὰρ ἔνθεν ἤδη βροτέου πνεύματος ἀρχὰ ἀμερίστως ἐμερίσθη, ὁ καταιβάτας ἐς ὕλαν νόος ἄφθιτος, τοκήων θεοκοιράνων ἀπορρώξ, ὀλίγα μέν, ἀλλ’ ἐκείνων.

9.(50) ὅλος οὗτος εἷς τε πάντῃ, ὅλος εἰς ὅλον δεδυκώς, κύτος οὐρανῶν ἑλίσσει· τὸ δ’ ὅλον τοῦτο φυλάσσων νενεμημέναισι μορφαῖς μεμερισμένος παρέστη, ὁ μὲν ἀστέρων διφρείαις, ὁ δ’ ἐς ἀγγέλων χορείας· ὁ δὲ καὶ ῥέποντι δεσμῷ χθονίαν εὕρετο μορφάν· ἀπὸ δ’ ἐστάθη τοκήων, δνοφερὰν ἤρυσε λάθαν, ἀλαωποῖσι μερίμναις χθόνα θαυμάσας ἀτερπῆ, θεὸς ἐς θνητὰ δεδορκώς.

9.(100) Ἔνι μάν, ἔνι τι φέγγος κεκαλυμμέναισι γλήναις· ἔνι καὶ δεῦρο πεσόντων ἀναγώγιός τις ἀλκά, ὅτε κυμάτων φυγόντες βιοτησίων, ἀκηδεῖς ἁγίας ἔστειλαν οἴμους πρὸς ἀνάκτορον τοκῆος. Μάκαρ ὅστις βορὸν ὕλας προφυγὼν ὕλαγμα, καὶ γᾶς ἀναδὺς ἅλματι κούφῳ ἴχνος ἐς θεὸν τιταίνει. μάκαρ ὅστις μετὰ μοίρας, μετὰ μόχθους, μετὰ πικρὰς χθονογηθεῖς μελεδῶνας, ἐπιβὰς νόου κελεύθων βυθὸν εἶδεν θεολαμπῆ. Πόνος εἰς ὅλαν τανύσσαι κραδίαν ὅλοισι ταρσοῖς ἀναγωγίων ἐρώτων.

9.(100) μόνον ἐμπέδωσον ὁρμὰν νοερηφόροισιν οἴμαις· ὁ δέ τοι πέλας φανεῖται γενέτας, χεῖρας ὀρεγνύς· προθέοισα γάρ τις ἀκτὶς καταλάμψει μὲν ἀταρπούς, πετάσει δέ τοι νοητὸν πεδίον, κάλλεος ἀρχάν. Ἄγε μοι, ψυχά, πιοῖσα ἀγαθορρύτοιο παγᾶς, ἱκετεύσασα τοκῆα ἀνάβαινε, μηδὲ μέλλε, χθονὶ τὰ χθονὸς λιποῖσα· τάχα δ’ ἀμμιγεῖσα πατρὶ θεὸς ἐν θεῷ χορεύσεις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org